# Ajax Test
# 38-70

**Ὀδ** ἦ καί, φίλη δέσποινα, πρὸς καιρὸν πονῶ;
**Ἀθ** ὡς ἔστιν ἀνδρὸς τοῦδε τἄργα ταῦτά σοι.
**Ὀδ** καὶ πρὸς τί δυσλόγιστον ὧδ᾽ ἦξεν χέρα;
**Ἀθ** χόλῳ βαρυνθεὶς τῶν Ἀχιλλείων ὅπλων.
**Ὀδ** τί δῆτα ποίμναις τήνδ᾽ ἐπεμπίπτει βάσιν;
**Ἀθ** δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνῳ.
**Ὀδ** ἦ καὶ τὸ βούλευμ᾽ ὡς ἐπ᾽ Ἀργείοις τόδ᾽ ἦν;
**Ἀθ** κἂν ἐξεπράξατ᾽, εἰ κατημέλησ᾽ ἐγώ.
**Ὀδ** ποίαισι τόλμαις ταῖσδε καὶ φρενῶν θράσει;
**Ἀθ** νύκτωρ ἐφ᾽ ὑμᾶς δόλιος ὁρμᾶται μόνος.
**Ὀδ** ἦ καὶ παρέστη κἀπὶ τέρμ᾽ ἀφίκετο;
**Ἀθ** καὶ δὴ ᾽πὶ δισσαῖς ἦν στρατηγίσιν πύλαις.
**Ὀδ** καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;
**Ἀθ** ἐγώ σφ᾽ ἀπείργω, δυσφόρους ἐπ᾽ ὄμμασι
γνώμας βαλοῦσα τῆς ἀνηκέστου χαρᾶς,
καὶ πρός τε ποίμνας ἐκτρέπω σύμμικτά τε
λείας ἄδαστα βουκόλων φρουρήματα·
ἔνθ᾽ εἰσπεσὼν ἔκειρε πολύκερων φόνον
κύκλῳ ῥαχίζων· κἀδόκει μὲν ἔσθ᾽ ὅτε
δισσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων,
ὅτ᾽ ἄλλοτ᾽ ἄλλον ἐμπίτνων στρατηλατῶν.
ἐγὼ δὲ φοιτῶντ᾽ ἄνδρα μανιάσιν νόσοις
ὤτρυνον, εἰσέβαλλον εἰς ἕρκη κακά.
κἄπειτ᾽ ἐπειδὴ τοῦδ᾽ ἐλώφησεν φόνου,
τοὺς ζῶντας αὖ δεσμοῖσι συνδήσας βοῶν
ποίμνας τε πάσας εἰς δόμους κομίζεται,
ὡς ἄνδρας, οὐχ ὡς εὔκερων ἄγραν ἔχων,
καὶ νῦν κατ᾽ οἴκους συνδέτους αἰκίζεται.
δείξω δὲ καὶ σοὶ τήνδε περιφανῆ νόσον,
ὡς πᾶσιν Ἀργείοισιν εἰσιδὼν θροῇς.
θαρσῶν δὲ μίμνε μηδὲ συμφορὰν δέχου
τὸν ἄνδρ᾽· ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους
αὐγὰς ἀπείρξω σὴν πρόσοψιν εἰσιδεῖν.

1. How are Athena and Odysseus, and their relationship, portrayed in lines 38-50?
2. Discuss the tone of lines 51-70.